# 181. THE RESURRECTION MORNING (Matt-Mk Identical)

| Matt 28:1-10 | Mark 16:1-8 |
| --- | --- |
| *Ὀψὲ δὲ σαββάτων,* | *Καὶ διαγενομένου τοῦ σαββάτου* |
| | *Μαρία ἡ Μαγδαληνὴ* |
| | *καὶ Μαρία ἡ τοῦ Ἰακώβου* |
| | *καὶ Σαλώμη* |
| | *ἠγόρασαν ἀρώματα* |
| | *ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.* |
| *<u>τῇ</u> ἐπιφωσκούσῃ* | *2 καὶ λίαν πρωι* |
| *εἰς μίαν <u>σαββάτων</u>,* | *<u>τῇ</u> μιᾷ τῶν <u>σαββάτων</u>* |
| *ἦλθεν* | *ἔρχονται ἐπὶ τὸ μνημεῖον* |
| *Μαριὰμ ἡ Μαγδαληνὴ* | |
| *καὶ ἡ ἄλλη Μαρία* | |
| | *ἀνατείλαντος τοῦ ἡλίου.* |
| *θεωρῆσαι τὸν τάφον.* | |
| *2 καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ καὶ προσελθὼν ἀπεκύλισεν τὸν λίθον καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. 3 ἦν δὲ ἡ εἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡς χιών. 4 ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγενήθησαν ὡς νεκροί.* | |
| | *3 καὶ ἔλεγον πρὸς ἑαυτάς, Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου* |
| | *4 καὶ ἀναβλέψασαι θεωροῦσιν* |
| | *ὅτι ἀποκεκύλισται ὁ λίθος,* |
| | *ἦν γὰρ μέγας σφόδρα.* |
| | *5 καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον* |
| | *εἶδον νεανίσκον* |
| | *καθήμενον ἐν τοῖς δεξιοῖς* |
| | *περιβεβλημένον στολὴν λευκήν,* |
| | *καὶ ἐξεθαμβήθησαν.* |

| | |
|---|---|
| 5 ἀποκριθεὶς δὲ ὁ ἄγγελος | 6 ὁ δὲ |
| εἶπεν ταῖς γυναιξίν, | λέγει αὐταῖς, |
| Μὴ φοβεῖσθε ὑμεῖς, | Μὴ ἐκθαμβεῖσθε· |
| οἶδα γὰρ ὅτι Ἰησοῦν | Ἰησοῦν |
| τὸν ἐσταυρωμένον ζητεῖτε· | ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· |
| | ἠγέρθη, |
| 6 οὐκ ἔστιν ὧδε, | οὐκ ἔστιν ὧδε· |
| ἠγέρθη γὰρ καθὼς εἶπεν· | |
| δεῦτε | |
| ἴδετε τὸν τόπον ὅπου ἔκειτο. | ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. |
| 7 καὶ ταχὺ πορευθεῖσαι | 7 ἀλλὰ ὑπάγετε |
| εἴπατε τοῖς μαθηταῖς αὐτοῦ | εἴπατε τοῖς μαθηταῖς αὐτοῦ |
| | καὶ τῷ Πέτρῳ |
| ὅτι Ἠγέρθη ἀπὸ τῶν νεκρῶν, | ὅτι |
| καὶ ἰδοὺ προάγει ὑμᾶς | Προάγει ὑμᾶς |
| εἰς τὴν Γαλιλαίαν, | εἰς τὴν Γαλιλαίαν· |
| ἐκεῖ αὐτὸν ὄψεσθε· | ἐκεῖ αὐτὸν ὄψεσθε, |
| ἰδοὺ εἶπον ὑμῖν. | καθὼς εἶπεν ὑμῖν. |
| 8 καὶ ἀπελθοῦσαι ταχὺ | 8 καὶ ἐξελθοῦσαι ἔφυγον |
| ἀπὸ τοῦ μνημείου | ἀπὸ τοῦ μνημείου, |
| μετὰ φόβου καὶ χαρᾶς μεγάλης | εἶχεν γὰρ αὐτὰς τρόμος καὶ ἔκστασις· |
| ἔδραμον | |
| ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. | καὶ οὐδενὶ οὐδὲν εἶπαν, |
| | ἐφοβοῦντο γάρ. |
| 9 καὶ ἰδοὺ Ἰησοῦς ὑπήντησεν αὐταῖς | |
| λέγων, Χαίρετε. αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. 10 τότε λέγει αὐταῖς ὁ Ἰησοῦς, Μὴ φοβεῖσθε· | |
| ὑπάγετε | |
| ἀπαγγείλατε | |
| τοῖς ἀδελφοῖς μου | |
| ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. | |

62 matches out of 307 words = 10%